# TEZAUR LITURGIC

**19 IUNIE**

**AGATONIKOS NIKOLAIDIS**

# PARACLISUL SF.IERARH IOAN MAXIMOVICI, ARHIEPISCOPUL SAN FRANCISCO

**ATENA,2010**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΙΩΑΝΝΗΣ ΜΑΞΙΜΟΒΙΤΣ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΣΑΓΚΑΗΣ ΚΑΙ ΣΑΝ ΦΡΑΝΣΙΣΚΟ ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα ἀρχιμ. Ἀγαθονίκου Νικολαΐδη**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾿ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾿ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾿ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾿. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β᾿. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ᾿. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τῷ ἱεράρχῃ καὶ σεπτῷ ἀρχιθύτῃ, οἱ ταῖς τοῦ βίου ἡδοναῖς κυλινδούμενοι, προσπέσωμεν προθύμως κραυγάζοντες νῦν· σπεῦσον ὡς φιλόστοργος, Ἰωάννη παμμάκαρ, λῦσον τῶν παθῶν ἡμῶν, τὴν σκοτόμαιναν Πάτερ, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, τοὺς πόθῳ ἀεί σε γεραίροντας.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα ὁ Κανών.

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Τοῦ βίου ἀνάγκαις καὶ πειρασμοῖς, καὶ νόσοις παντοίαις, ἑταζόμενοι οἱ πιστοί, πρὸς σὲ ἀφορῶμεν ἱεράρχα, ὡς τῶν ψυχῶν καὶ σωμάτων ἀκέστορα.

Πρὸς τίνα προσφύγωμεν οἱ πιστοί, εἰ μὴ ἐν σοὶ Πάτερ, Ἰωάννη θαυματουργέ· ἵλεως γενοῦ ἡμῖν σοῖς δούλοις, ὡς κυβερνήτης ἡμῶν περιδέξιος.

Τὸ σκότος ἐκδίωξον τῶν παθῶν, καὶ τῆς δυσθυμίας, ἐξαφάνισον τὸν ἐσμόν· καὶ τῶν σῶν προσφύγων ἱεράρχα, γενοῦ προστάτης καὶ φύλαξ θερμότατος.

*Θεοτοκίον.*

Ὢ Μήτηρ ὑπάρχουσα τοῦ φωτός, τὸν ἐσκοτισμένον, μὴ παρίδῃς με Μαριάμ, ἀλλ' ὄρεξον χεῖρα βοηθείας, τῷ ταπεινῷ Σου ἱκέτῃ πανάμωμε.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Τῶν Ἀγγέλων Ὁσίων καὶ ἀσκητῶν σύσκηνος, ὤφθης Ἰωάννη τρισμάκαρ, ὡς ἐκμιμούμενος, διαπαντὸς βιοτήν, ἀγγελόμορφε Πάτερ· διὸ νῦν με οἴκτειρον μάκαρ ὀλλύμενον.

Ὀρφανῶν ὡς προστάτης, καὶ ὡς τροφεὺς ἄριστος, καὶ χειμαζομένων ἀνάγκαις, ὡς προθυμότατος, Πατὴρ φιλόστοργος, ὦ Ἰωάννη παμμάκαρ, νῦν με καθοδήγησον πρὸς τρίβον εὔδιον.

Ἐν τῷ σκότει διάγων, τῶν λυπηρῶν πέπλησμαι, καὶ τῆς δυσθυμίας μὴ φέρων, τὸ ἐπαχθέστατον, πρὸς σὲ κατέφυγον, τὸν ἱλαρώτατον ῥύστην, τῶν πιστῶν τὸ στήριγμα ὦ συμπαθέστατε.

*Θεοτοκίον.*

Σὲ προστάτιν καὶ ῥύστιν, πρὸς τὸν Θεὸν κέκτημαι, ὦ Θεογεννῆτορ Παρθένε, μὴ καταλίπῃς με, ἐκδυσωποῦσα θερμῶς, σὺν τῷ κλεινῷ Ἰωάννῃ, σωτηρίας τεύξασθαι Θεομακάριστε.

Διάσωσον, ἀπὸ κινδύνων καὶ θλίψεων ἱεράρχα, τοὺς πιστῶς ὑμνοῦντας Ἰωάννη, καὶ ἐπιζητοῦντας, ἀντίληψιν θερμήν σου.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Πατὴρ ὀρφανῶν τροφεὺς δ' ἐπαρκέστατος, πηγὴ οἰκτιρμῶν, πιστῶν καταφύγιον· ἐκτενῶς προσπίπτομεν, Ἰωάννη πρεσβείαις σου πρόφθασον, καὶ πειρασμῶν διάλυσον ὁρμάς, ἀκέστωρ φανεὶς ἀγαθότατος.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Πειρασμοῖς περιπέπτωκα, καὶ παθῶν τὸ κλυδώνιον ἐκταράσσει με, σπεῦσον Πάτερ ἐκλυτρώσασθαι, ταῖς πρὸς τὸν Δεσπότην ἱκεσίαις σου.

Ἱλαρότητος ἔμπλεως, εὐθυμίας τε πλήρης ὑπάρχων Ὅσιε, συμπαθείας με ἀξίωσον, καὶ κινδύνων πάντων ἐλευθέρωσον.

Σὺ ὑπέσχου τρισμάκαρ, μεθ' ἡμῶν μέχρι τέλους ἔσεσθαι Ἅγιε, μὴ οὖν δέομαι ἐλλίπῃς με, μόνον ἐν τῷ βίῳ χειμαζόμενον.

*Θεοτοκίον.*

Σαῖς πρεσβείαις ἐρείδομαι, ταῖς πρὸς τὸν Υἱόν Σου Μαρία πάναγνε, μὴ παρίδῃς τὸν οἰκέτην Σου, τὸν ἐκλιπαροῦντά Σε πανάμωμε.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Πρόφθασον σοφέ, πειρασμοῖς ἀπολλύμενον, καὶ προστάτην κεκληκότα σε θερμόν, καὶ δυσθυμίας, ἀποδίωξον τὴν σκότωσιν.

Εὕροιμεν πιστοί, σὲ προστάτην τε καὶ ἔφορον, οἱ τῇ σορῷ τῶν λειψάνων σου ἀεί, προσπεφευγότες, πειρασμῶν ἐκλυτρούμενον.

Φώτισον λαμπρέ, ἱεράρχα τοὺς ἱκέτας σου, βαδίζειν τρίβον ἐντολῶν τῶν τοῦ Χριστοῦ, καὶ ἀποῤῥίπτειν, τῶν δαιμόνων τὰ τοξεύματα.

*Θεοτοκίον.*

Δέσποινα ἁγνή, χεῖρας νόα διεπέτασα, πρὸς Σὲ τὴν Παρθένον καὶ σεμνήν, καὶ δέομαί Σου, ἐκ βυθοῦ πταισμάτων ἕλκυσον.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Ἐν ψευδαδέλφων, ἀδικαίαις τρισμάκαρ, διατρίψας τῆς ζωῆς σου τὸ πλεῖστον, καὶ ὑπ᾽ αὐτῶν, ἐγκαλούμενος Πάτερ, σὺ οὐδαμῶς ἀπεδίδου ἐκδίκησιν· συγγνώμην δὲ ἀναδειχθείς, σὺν Ἀγγέλων χορεύεις στρατεύμασι.

Ἐν κλίνῃ σύ, οὐδαμῶς ἀναπέπαυσαι, ἀσιτίᾳ δὲ ἐκτρίψας σαρκίον, ἀνέδειξάς σου ψυχῆς τὸ ὡραῖον, καὶ ἀφθαρσίᾳ σὸν σῶμα ἐδόξασας· διὸ καὶ νῦν πάντων ἡμῶν, μὴ παρίδῃς δεήσεις πανόλβιε.

Ἐν θλίψεσιν, καὶ πειρασμοῖς λιμένα σε, κεκτημένοι Ἰωάννη βοῶμεν, μὴ διαλίπῃς ἡμᾶς προστατεύειν,

πρὸς σὲ θερμὸν ἀντιλήπτορα ἔχοντας, δεόμεθά σου ἐκτενῶς, ἱεράρχα σοφὲ παμμακάριστε.

*Θεοτοκίον.*

Θεόνυμφε, ἡ γαστρὶ χωρήσασα, τὸν τῶν ὅλων Ποιητὴν καὶ Δεσπότην, ἡμᾶς αὐτῷ ἐξοικείωσον Κόρη, ἵνα ὑμνῶμεν ἀεὶ καὶ δοξάζομεν, Τριάδα ἄκτιστον ἁπλῆν, εἰς αἰῶνας αἰώνων πανάχραντε.

Διάσωσον, ἀπὸ κινδύνων καὶ θλίψεων ἱεράρχα, τοὺς πιστῶς ὑμνοῦντας Ἰωάννη, καὶ ἐπιζητοῦντας, ἀντίληψιν θερμήν σου.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Ταῖς πρὸς Θεόν σου πρεσβείαις θεσπέσιε, προφθάνεις λύων παθῶν ἑσμὸν ἅπαντα, καὶ ἀπελαύνεις κινδύνων τὴν ἔφοδον, ὥσπερ καὶ πρὶν τοῦ τυφῶνος πανένδοξε, τοῖς πᾶσι παρέχων χάριν ἄφθονον.

Προκείμενον: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.*

Στ.: *Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην. (Κεφ. Ι΄, 1-9).*

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς Αὐτὸν Ἰουδαίους· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής, ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν ἐστι τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ᾽ ὄνομα καὶ ἐξάγει αὐτά. Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ· ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ᾽ αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν. Ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καὶ λῃσταί, ἀλλ᾽ οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι’ ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει.

Ὁ Ν΄ ψαλμός.

Δόξα: *Ταῖς τῶν Ἱεράρχου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Νῦν ἐξαπορούμενος, ἀνθρωπίνης προστασίας, πρὸς Σὲ τὸν Οἰκτίρμονα, κατέφυγον Δέσποτα, μὴ παρίδῃς με· πρόφθασον λύτρωσον, ἔγγισον εὔσπλαγχνε, ὅτι νόσοις περιπέπτωκα, παθῶν καὶ θλίψεων, βάρος μὴ ἰσχύων τὸ ἄστεκτον· χεῖρας Σὴν ὄρεξον, καταπονουμένων λιμὴν Φιλάνθρωπε· ταῖς τοῦ Ἰωάννου, λιταῖς τε καὶ δεήσεσι Χριστέ, ὃν εἰς πρεσβείαν προσάγω Σοι, σὺν τῇ Θεομήτορι.

*Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.*

Νόσους καὶ πάσας ἀγηδόνας, θεραπεύεις τῶν πόθῳ προσιόντων, Ἰωάννη σοφέ, σορῷ τῶν σῶν λειψάνων, καὶ ἐκβοώντων πάντοτε· ὁ Θεὸς εὐλογητὸς εἶ.

Τῆς Ῥωσσίας τὸ καύχημα καὶ θρέμμα, Ἐκκλησίας δὲ ἁπάσης θυμηδία, ἱεραρχῶν καλλονήν, ὡράϊσμα καὶ κλέος, σὲ Ἰωάννη ἔγνωμεν, οἱ θερμῶς σε ἀνυμνοῦντες.

Ἀσθενούντων καὶ καταπονουμένων, σὺ πανθαύμαστε ὑπάρχεις ἰατρεῖον, ὀρφανῶν καὶ πτωχῶν, ἀσύλητον ταμεῖον, χριστιανῶν ὁ ἔφορος, καὶ θερμότατος προστάτης.

*Θεοτοκίον.*

Χαῖρε Παρθένε Θεοτόκε, ἡ αἰτία τῆς πάντων σωτηρίας, δυσωποῦσα ἀεί, μὴ παύσῃ τὸν Υἱόν Σου, πειρατηρίων ῥύσασθαι, τοὺς πιστῶς Σε ἀνυμνοῦντας.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Τῶν ἀρετῶν σου, τίς τῶν βροτῶν ἐξισχύσει, καταλέξαι τὰ πλήθη Ἰωάννη, ἢ τίς σῶν καμάτων, ἐξείπει τοὺς ἀγῶνας;

Πάρεσο Πάτερ, ὡς βοηθὸς καὶ προστάτης, τῶν θερμῶς ἀνυμνούντων σε μάκαρ, καὶ πιστῶς τιμώντων, τὰ θεῖα λείψανά σου.

Τῆς σωτηρίας, χειραγωγεῖς με πρὸς τρίβους, καὶ σαρκὸς θεραπεύεις τὰς νόσους· ὅθεν ἱεράρχα, γεραίρω χαρμοσύνως.

*Θεοτοκίον.*

Καταφαιδρύνεις, τὰς ψυχὰς τῶν Σῶν δούλων, τῶν πιστῶς ὑμνούντων Σε Παρθένε, καὶ ὑπερυψούντων, Σὲ Κόρη εἰς αἰῶνας.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκου.*

Προστάτην μου καὶ ῥύστην, τῆς ζωῆς ἁπάσης, σὲ ἐπιγράφομαι Πάτερ ὦ Ἰωάννη σοφέ, μὴ διαλίπῃς πρεσβεύειν, ἀεὶ πρὸς Κύριον.

Ὦ θεῖε Ἰωάννη, ὕψωσόν σου χεῖρας, πρὸς τὸν Δεσπότην καὶ Κύριον τὸν Οἰκτίρμονα, καὶ δυσχερείας ἁπάσης, ἡμᾶς ἀπάλλαξον.

Ἀφθάρτῳ σου λειψάνῳ, τοῖς προσερχομένοις, ἐκ γῆς περάτων δυσώπει πανόλβιε, τὸν πολυεύσπλαγχνον δοῦναι, πταισμάτων ἄφεσιν.

*Θεοτοκίον.*

Φωτὸς οὖσα δοχεῖον, φώτιζε ἀπαύστως, τοὺς Σὲ προστάτιν ζωῆς κεκτημένους ἁγνή, σὺν τῷ κλεινῷ ἱεράρχῃ, Παρθένε ἄχραντε.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σὲ μεγαλύνομεν.

Φερωνύμως δῶρον παρὰ Θεοῦ, ὤφθης Ἰωάννη, καὶ ἀκέστωρ καὶ βοηθός, τοῖς χειμαζομένοις, πελάγει τῷ τοῦ βίου, αὐγάζων σαῖς πρεσβείαις, παθῶν τὴν ζόφωσιν.

Τὸν ἐν ἱεράρχαις θαυματουργόν, καὶ τὸν ἐν ἀνάγκαις, προθυμότατον βοηθόν, πενήτων προστάτην, καὶ θλιβομένων ῥύστην, τὸν μέγαν Ἰωάννην, πόθῳ ὑμνήσωμεν.

Ὡς θερμὸν προστάτην τῶν ὀρφανῶν, καὶ ἐν τοῖς κινδύνοις, ἀντιλήπτορα θαυμαστόν, γινώσκομεν πάντες, ἀεὶ οἱ ἀφορῶντες, καὶ πίστει προσκυνοῦντες, σορῷ λειψάνῳ σου.

Ἀκραιφνοῦς ἀσκήσεως ἐραστής, καὶ τῆς Ἀσωμάτων πολίτειας ἐκμιμητής, σαλότητος τρόπους, ἐξιχνιάσας Πάτερ, Ἁγίοις συναυλίζῃ, νῦν ἱερώτατε.

Σὺν Ἰννοκεντίῳ καὶ Γερμαῷ, Ἰωάννη θεῖε, νῦν ἐπάρατε πρὸς Θεόν, ὑμῶν θείας χεῖρας, καὶ λύσατε κινδύνων, πάντας τοὺς προσκυνοῦντας, Τριάδα ἄκτιστον.

Ὡς τῆς Θεοτόκου σὲ ὑμνητήν, καὶ Ἁγίων Πάντων, διὰ βίου ἐκμιμητήν, τιμῶμεν οἱ πόθῳ, παντοδαπῶς τυχόντες, τῆς ἀντιλήψεώς σου, ὦ παμμακάριστε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῆς ἡμῖν σφόδρα, μηδέ μνησθῆς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Ὤφθης, Ἰωάννη θαυμαστέ, τῶν πιστῶν ἁπάντων προστάτης, καὶ ὀρφανῶν ὡς τροφεύς, σκέπη καὶ βοήθεια τῶν προστρεχόντων εἰς σέ· ἀσθενούντων διόρθωσιν, καὶ τῶν θλιβομένων, χαρὰ καὶ ἀντίληψις, καὶ ἀγαλλίαμα· ὅθεν, ἱκετεύομεν ῥῦσαι, πάσης προσβολῆς ἐναντίων, τοὺς πιστῶς τιμῶντάς σε θεσπέσιε.

Πάτερ, Ἰωάννη ἀσκητῶν, καὶ ἱεραρχῶν ταῖς χορείαις συναυλιζόμενος, καὶ Ἀγγέλων Τάξεσι νῦν εὐφραινόμενος, τῶν πιστῶς ἀνυμνούντων σε, βοήθησον χρείαις, πᾶσι δὲ κατάπεμψον τὸ θεῖον ἔλεος· ὅπως, σεσωσμένοι ὑμνῶμεν, καὶ δοξολογῶμεν ἀπαύστως, τῆς Τριάδος κράτος τὸ ἀνείκαστον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι' εὐχῶν.*